www.e-rara.ch

# Thēsauros. Keraz amaldeiaz, kai kēpoi adōnidos

**Bolzanio, Urbano**

**Venetiis, [Aug. 1496]**

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-152037

[De fœmininis nominibus quae desinunt in omega]

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

# ΠΕΡΙ ΤΩΝ ΕΙΣ Ω ΘΗΛΥΚΩΝ ΟΝΟΜΑΤΩΝ.

ΠΩΣ λέγει ὁ Θεοδόσιος κλίνεσθαι, τὰ εἰς ω θηλυκὰ ὀνόματα καὶ πῶς ὁ Ῥωμανὸς ὁ τοῦ Φιλοπόνου διδάσκαλος;

Ὁ μὲν Θεοδόσιος, ἀπὸ συναιρέσεως λέγει τὴν γενικὴν τῶν εἰς ω θηλυκῶν ὀνομάτων· οἷον Σαπφόος Σαπφοῦς. ὁ δὲ Ῥωμανὸς ὁ τοῦ Φιλοπόνου διδάσκαλος λέγει ὅτι ἰσοσύλλαβος ἐγένετο κλίσις ἐπὶ τῶν εἰς ω θηλυκῶν· τουτέστι προσθέσει τοῦ σ· οἷον ἡ Σαπφὼ τῆς Σαπφῶς. τὰ γὰρ εἰς φωνήεντα λήγοντα θηλυκὰ μακροκατάληκτα, προσθέσει τοῦ σ ποιεῖ τὴν γενικήν· οἷον Ἀθηνᾶ, Ἀθηνᾶς. καὶ λοιπὸν τροπῇ τοῦ ω εἰς τὴν ου δίφθογγον, γίνεται Σαπφοῦς. ἢ ἐκ τοῦ ἐναντίου κατὰ συστολὴν τοῦ ω, εἰς τὸ ο, γίνεται Σαπφόος. καὶ ἐπειδὴ πᾶσα γενικὴ ἰσοσυλλάβως κλινομένη, μακροκατάληκτον θέλει· οἷον Μοῦσα Μούσης, προσέλαβε τὸ υ καὶ ἐγένετο Σαπφοῦς. καὶ ἐπειδὴ πᾶσα γενικὴ εἰς ους λήγουσα ἔχει ἄλλην γενικὴν ἐντελῆ· οἷον Δημοσθένους Δημοσθένεος, τούτου χάριν διάλυσις ἐγένετο Σαπφόος. καὶ κατὰ συναίρεσιν Σαπφοῦς.

Ποία διάλεκτος κέχρηται τῇ εἰς ος ἐντελεῖ γενικῇ καὶ ποία τῇ εἰς ους συνῃρημένῃ; τῇ μὲν εἰς οος ἐντελεῖ γενικῇ κέχρηνται οἱ Ἴωνες· οἷον τῆς Λητόος. τῇ δὲ εἰς ους συνῃρημένῃ, ἡ κοινὴ καὶ ἡ ἀττική· οἷον Σαπφοῦς καὶ Λητοῦς.

Πόθεν γέγονεν ἡ δοτικὴ τῶν ἑνικῶν; ἐπὶ τῶν εἰς ος ἑνικῶν ὀνομάτων οἱ μὲν λέγουσιν ὅτι ἀπὸ τῆς Σαπφὼ γέγονε κατὰ συστολὴν τοῦ ω εἰς ο, καὶ ἐξεφώνησε τὸ ι καὶ ἐγένετο τῇ Σαπφοῖ· ὁ δὲ Θεοδόσιος, καὶ τινὲς ἄλλοι τῶν γραμματικῶν ἀπὸ τῆς Σαπφόος λέγουσι γεγονέναι Σαπφοῖ, τροπῇ τοῦ ος εἰς ι, καὶ κατὰ

συναιρέσει τοῦ ο̄ καὶ ῑ εἰς τὴν οι δίφθογγον, σαπφοῖ.

Ὁ δὲ ἡρωδιανὸς δοξάζει μὴ εὑρίσκεσθαι ἐν χρήσει ἐπὶ τῶν εἰς ω̄ θηλυκῶν τρισυλλάβων δοτικὴν διάστασιν ἔχουσαν τοῦ ο̄ καὶ ῑ. φημὶ δὴ λητόϊ καὶ σαπφόϊ· ἀλλὰ λητοῖ καὶ σαπφοῖ. σεσημείωται παρὰ τοῖς τεχνικοῖς τὸ πυθόϊ.

Διατί ἡ αἰτιατικὴ τῶν εἰς ω θηλυκῶν ὀνομάτων ὀξύνεται καίπερ ἀπὸ συναιρέσεως οὖσα. οἷον τὴν σαπφόα· τὴν σαπφώ· τὴν λητόα τὴν λητώ; ἐπειδὴ κανών ἐστιν ὁ λέγων ὅτι τὸ πτωτικὸν τῶν ἀπέστραπται τὴν περισπωμένην· καὶ ὅτι πᾶσα πτῶσις ὁμοφωνήσασα τῇ ἑτέρᾳ πτώσει κατὰ τὸν τόνον αὐτῆς ἔχει, ὁμοίως καὶ τὸν χρόνον κατὰ τὴν αὐτὴν διάλεκτον· οἷον μοῦσα, ὦ μοῦσα. καὶ ἐπειδὴ ὡμοφώνησεν ἡ αἰτιατικὴ τῇ εὐθείᾳ ἐπὶ τῶν εἰς ω θηλυκῶν ὀνομάτων κατὰ τὴν αὐτὴν διάλεκτον καὶ τὸν αὐτὸν ἀριθμόν. οἷον ἡ σαπφὼ τὴν σαπφώ, τούτου χάριν τὸν αὐτὸν τόνον ἐδέξατο. πρόσκειται κατὰ τὴν αὐτὴν διάλεκτον. ἐπειδὴ τὰ εἰς ους ὀνόματα κλινόμενα ἰσοσυλλάβως δωρικῶς, οὐκ ὀξύνονται κατὰ τὴν κοινὴν ἀλλὰ περισπῶνται. καίπερ ὁμοφωνήσαντα τῇ ὀξυνομένῃ εὐθείᾳ, οἷον ὀδυσσεῦς ὡς παρὰ τῷ ποιητῇ· ὀδυσσεῦς δὲ λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ. τὴν αἰδῶ δὲ περισπᾶται. ὅτι οὐχ ὁμοφωνεῖ τῇ εὐθείᾳ, αἰδοῦν.

Διατί ἡ κλητικὴ τῶν εἰς ω θηλυκῶν ὀνομάτων πλείονα φωνήεντα ἔχει τῆς ἰδίας εὐθείας. οἷον ἡ σαπφώ, ὦ σαπφοῖ. κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι οὐδέποτε θέλει ἔχειν πλείονα φωνήεντα τῆς ἰδίας εὐθείας ἡ κλητική; φησίν, ὅτι ἡ γενικὴ εἰς ους λήγουσα μείζονα χρόνον θέλει ἔχειν τῆς κλητικῆς. οἷον, δημοσθένους, δημόσθενες. εὐσεβοῦς, εὐσεβές. καὶ τούτου χάριν συνεστάλη τὸ ω εἰς ο̄. καὶ ἐπειδὴ ἔμελλε βραχυκαταληκτεῖν ἡ κλητικὴ καὶ ὀξύνεσθαι. καὶ ἀντιπίπτειν τῷ κανόνι τῷ λέγοντι· οὐδεμία λέξις εἰς ο̄ λήγουσα βραχὺ ὑπὲρ μίαν συλλαβὴν ὀξύνεται. οἷον ἐκεῖνο· ἀλλοῖο· χωρὶς τοῦ αὐτὸ καὶ ἀπὸ· ὑπὸ· προσέλαβε τὸ ῑ καὶ ἐγένετο ἡ κλητικὴ σα-

πφοῖ καὶ λητοῖ περισπωμένως· διὰ τὸ συνεμπεσεῖν αὐταῖς
τῇ δοτικῇ.

Πόσαι ἄλλαι διάλεκτοι κλίνουσι τὰς πλαγίας τῶν εἰς ω θηλυ-
κῶν ὀνομάτων; κατὰ μὲν τοὺς ἴωνας· καὶ τινὰς τῶν δωριέων ἡ σα-
πφόος ἐντελὴς γενική· ἡ δὲ σαπφοῦς συνῃρημένη κατὰ κοινοὺς καὶ
ἀθηναίους· οἱ δὲ αἰολεῖς καὶ λάκωνες· οἵτινές εἰσι μέρος δωριέων
προσθέσει τοῦ σ ποιοῦσι τὴν γενικήν· οἷον ἡ σαπφὼ τῆς σα-
πφῶς· καὶ ἡ λητὼ τῆς λητῶς· καὶ δηλοῦσιν αἱ χρήσεις οὕτως ἔχουσαι·
τὸ δὲ ἐκ σαπφοῦς ἀμελγόμενος μέν τοι φέρω· καὶ παρ' αὐτῇ
τῇ σαπφοῖ μάλα δὴ κεκορημένου σόργος, καὶ πάλιν ἀμορφό-
τερον μναΐδος, καὶ τῆς ἀπλῶς πυρινῶς· ἔστιν ἡ μναΐς αὕ-
τη· καὶ ἡ πυρινὼ ὀνόματα κύρια. τῇ δὲ δοτικῇ πᾶσαι αἱ διά-
λεκτοι εἰς οῖ κέχρηνται· ἑτέρα γὰρ οὐκ ἔστιν ἐν χρήσει· τὴν δὲ αἰτια-
τικὴν οἱ αἰολεῖς καὶ μόνοι προσθέσει τοῦ ν ἐποίουν τὴν λητών· ὡς
καὶ ἡ χρῆσις δηλοῖ· ἡρῶν ἐξεδίδαξε γυάρων ※ τὴν αἰνοδρόμον
αἰτιατικῶς γάρ ἐστιν ἀπὸ εὐθείας τῆς ἡρώ· οἱ δὲ ἴωνες αὐτὴν
εἰς οῦν ἐποίουν σαπφοῦν καὶ λητοῦν ὡς δηλοῦσιν αἱ χρήσεις· φη-
σὶ γὰρ ὁ ἡρωδιανὸς ἐν τῇ πρώτῃ ἱστορίᾳ οὕτως· τὴν ἰναχοῦν· ἀ-
πὸ τῆς εὐθείας τῆς ἰναχὼ γεγονέναι· καὶ πάλιν ἀπὸ τῆς εὐ-
θείας τῆς βουτώ· ὁμοίως καὶ περὶ ποδόνακτι· πῶς παρὰ κυ-
ψοῦν ἦλθε. Καὶ αὕτη μὲν ἡ διάφορος κλίσις τῶν διαλέκτων.

ΤΈΛΟΣ.